ὅσα ϰ χωρὶς τȣ̃ δυς, εὔχρηςα τυγχάνει, ταῦτα ϰ μετὰ τȣ̃ δυς συντεθέντα ἔσωθεν αὐξάνει. τὰ δὲ μὴ τοιαῦτα, ἔξωθεν ποιεῖται τὴν αὔξησιν. περὶ τȣ́τȣ ὅρα ἐν τῷ περὶ αὐξήσεως τῶν συνθέτων ῥημάτων (§. σοέ.)

§. τμζ΄. Ἀρχὴ τȣ̃ Ε.

Ἔδω, τὸ ἐσθίω Παρακ. ἦκα, ϰ Ἀττικῶς ἐδήδοκα, ἐπενθέσει τῆς δο. Μέσ. Παρακ. Ἀττικὸς, ἔδηδα. Μετοχὴ, ὁ ἐδηδώς. Μέσ. Μέλ. β΄. ἔδομαι. τὸ γὰρ ἔδομαι, φάγομαι, πίομαι, ȣ̓ περισπᾶται

Ἐθίζω, εἴθιζον. Μέλ. ἐθίσω, Ἀόρ. εἴθισα.

Εἴωθα, Μέσος Παρακ. ἀπὸ τȣ̃ ἔθω ἀχρήςȣ, ἐπενθέσει τȣ̃ ω. Ὑπερσυντ. εἰώθειν.

Εἵμαρται, ἀπρόσωπον, ἀπὸ τȣ̃ μείρω, ὁ Παθητικὸς Παρακ. μέμαρμαι, ϰ Ἀττικῶς εἵμαρμαι, ὅθεν εἱμαρμένη. τὸ τρίτον. εἵμαρται. Ὑπερσ. εἵμαρτο.

Εἶπα, Ἀόρ. ά. ϰ β΄. εἶπον, ἀπὸ τȣ̃ ἔπω ἀχρήςȣ. Προςακ. Ἀόρ. ά. εἶπον, εἰπάτω. ϰ β΄. εἰπέ. εἰς δὲ τὰς ἄλλας ἐγκλίσεις μόνος ὁ β΄. εὔχρηςος.

Εἴρηκα. ἔςιν εἴρω τὸ λέγω, ἄχρηςον. Μέλ. ἐρῶ. Παρακ. εἴρηκα, ἐπενθέσει τȣ̃ η. Ὑπερσυντ. εἰρήκειν. Παθ. Παρακ. εἴρημαι, εἴρησαι, εἴρηται. Ὑπερσυντ. εἰρήμην, ησο, ητο. Μετ᾽ ὀλίγον Μέλ. εἰρήσομαι, εἰρήσῃ, εἰρήσεται. Ἀόρ. ά. ἐῤῥέθην. ἀπὸ τȣ̃ ῥέω, ῶ. ϰ Μέλ. ά. ῥηθήσομαι, ήσῃ, ήσεται.

Ἐλαύνω, ἤλαυνον. Μέλ. ἐλάσω. ἀπὸ τȣ̃ ἐλάω, ῶ. Παρακείμ. ἤλακα. ϰ Ἀττικῶς, ἐλήλακα. Ἀόριςος ά. ἤλασα.